λάξαντες αὐτὸν τούτου τοῦ δέ-
ους πείθουσι δοῦναι τὴν χά-
ριν. καὶ ἐπειδὴ πάντα τὰ παρ'
ἑαυτῶν εἰσήνεγκαν, καὶ ὁ θε-
ὸς τὰ παρ' ἑαυτοῦ λοιπὸν εἰ-
σέφερεν. οὐδὲ γὰρ τοῦ θεοῦ μό-
νου τὸ κατόρθωμα ἦν (ἐπεὶ
τί ἔμελλον ἐκεῖνοι μισθὸν
λαμβάνειν;) ἀλλὰ τῆς ἐ-
κείνων γνώμης ἡ ἀρχὴ καὶ
τὰ προοίμια, ἣν παρα-
σχόμενοι γενναίαν καὶ ἀνδρεί-
αν, ἐπεσπάσαντο τὴν τοῦ θεοῦ
ῥοπήν. καὶ εἰς τέλος ἤγαγον,
ὅπερ ἐσπούδαζον. ὁρᾷς ὅτι
τὸν μὴ ἑαυτὸν ἀδικοῦντα,
οὐδεὶς ἕτερος παραβλάψαι
δυνήσεται; ἰδοὺ γοῦν καὶ
νεότης καὶ αἰχμαλωσία
καὶ ὀρφανία, καὶ εἰς ἀλλο-
τρίαν ἀπαγωγὴ, καὶ μό-
νωσις, καὶ ἐρημία τῶν προ-
σηκόντων, καὶ ἐπίταγμα
χαλεπὸν, καὶ φόβος θα-
νάτου πολὺς ἐπιτειχίζων τοῦ
εὐνούχου τὴν διάνοιαν,
καὶ πενία, καὶ ὀλιγότης,

*vt daret ipsis eā gratiā. Ac postquā omne officiū suū fecissent, Deus quoq; deinceps fecit suū. Neq; enim solius Dei erat præclarū illud facinus (nam quid illo mercedis loco essent accepturi) sed principium & exordia proficiscebantur ab illorum animo quem cùm præstitissent generosum ac fortem, Dei fauorē sibi conciliàrunt, & ad finē, quod moliebantur, ꝑduxerūt. Vides, ꝙ seipse non lædit, ei neminem alium posse nocere? Ecce n. nec iuuentus, neq; captiuitas, neq; orbitas, neq; abductio in regionē alienā, nec solitudo & destitutio eorū, ꝙ ab ipsis starent, nec mandatū graue, nec magnus mortis timor, ꝙ eunuchi cingebat animum, nec paupertas, nec paucitas, non*